7 εἶδον δούλους ἐφ᾽ ἵππους
καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς.
8 ὁ ὀρύσσων βόθρον ἐν αὐτῷ ἐμπεσεῖται,
καὶ καθαιροῦντα φραγμόν, δήξεται αὐτὸν ὄφις·
9 ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς,
σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς.
10 ἐὰν ἐκπέσῃ τὸ σιδήριον,
καὶ αὐτὸς πρόσωπον ἐτάραξεν,
καὶ δυνάμεις δυναμώσει,
καὶ περισσεία τοῦ ἀνδρείου σοφία.
11 ἐὰν δάκῃ ὁ ὄφις ἐν οὐ ψιθυρισμῷ,
καὶ οὐκ ἔστιν περισσεία τῷ ἐπᾴδοντι.
12 λόγοι στόματος σοφοῦ χάρις,
καὶ χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν·
13 ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη,
καὶ ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά·
14 καὶ ὁ ἄφρων πληθύνει λόγους.
οὐκ ἔγνω ὁ ἄνθρωπος τί τὸ γενόμενον,
καὶ τί τὸ ἐσόμενον ὀπίσω αὐτοῦ, τίς ἀναγγελεῖ αὐτῷ;
15 μόχθος τῶν ἀφρόνων κοπώσει αὐτούς,
ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν.
16 οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος
καὶ οἱ ἄρχοντές σου ἐν πρωίᾳ ἐσθίουσιν·
17 μακαρία σύ, γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων
καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει
καὶ οὐκ αἰσχυνθήσονται.
18 ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις,
καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία.
19 εἰς γέλωτα ποιοῦσιν ἄρτον,
καὶ οἶνος εὐφραίνει ζῶντας,
καὶ τοῦ ἀργυρίου ἐπακούσεται σὺν τὰ πάντα.
20 καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ,

7$^{2}$ πορ./ως δουλ.] tr. A† | επι της γης] > S*†, επι γης S$^{c}$ || 8$^{1}$ εν αυτω] εις αυτον B | 8$^{1}$ fin.] + και ο κυλιων λιθον εφ εαυτον κυλιει A†: ex Prou. 26 27 || 9$^{2}$ κινδυνευει S† || 10$^{4}$ του ανδρ(ε)ιου] τω ανδρι ου B†, του ανδρος pau. || 11$^{1}$ ο CV] > BSA || 12$^{1}$ λογοις S$^{c}$† | 12$^{2}$ καταποντισουσιν S AV† || 13$^{2}$ στοματος > B || 14$^{2}$ ο > B | 14$^{3}$ εσομ.] γενησομενον S*† | οπισω Ra.] pr. τι B, pr. οτι SA | απαγγελ(λ)ει SA || 15$^{1}$ του αφρονος et αυτον SA | κοπωσει] κακωσει B, σκοτωσει A† || 16$^{2}$ εν πρωια] πρωι B†, πρωια V†, πρωιας S: cf. 11 6 || 17$^{1}$ συ > B*† | ελευθερου SA || 18$^{2}$ στεναξει A || 19$^{2}$ οινον B | post οιν. add. και ελαιον BS | ευφραινει] του ευφρανθηναι B | 19$^{3}$ επακουσ.] pr. ταπεινωσει BS*†: alia interpretatio | συν τα παντα (cf. 3 11)] συν > BS*, τα συνπαντα S$^{c}$†